Galeni Puero epileptico consilium
Ausgabe und Kommentar

von

WINFRIED KEIL

1959

Galeni Puero epileptico consilium

Ausgabe und Kommentar

Dissertation
zur Erlangung des Doktorgrades
der Philosophischen Fakultät
der Georg-August-Universität zu Göttingen

vorgelegt
von

Winfried Keil
aus Liegnitz

Göttingen 1959

Berichterstatter: Prof.Dr. K. Deichgräber

Mitberichterstatter: Prof.Dr. W.H. Friedrich

Tag der mündlichen Prüfung: 9.12.1959

Fotodruck: Mikrokopie G.m.b.H. München 2, Weinstr. 4

M E I N E N E L T E R N

R. UNIV.
BIBLIOTHEEK
LEIDEN

Inhaltsverzeichnis

Galeni Puero epileptico consilium
Ausgabe und Kommentar

Ausgabe

Praefatio IX
Conspectus siglorum XVIII
Textus apparatu critico et locis similibus instructus 1
Index Nominum 24
Index Verborum 24

Kommentar

Echtheitsfrage und Datierung 42
Inhalt, Charakter u. Aufbau der Schrift 44
Fortlaufende Kommentierung der Schrift 49
I) Die Einleitung 49
II) Der Hauptteil 56
1) Die κάθαρσις 56
2) Die Übungen 58
a) Die Überleitung 59
b) Die Auswahl des Paidotriben 60
c) Das rechte Maß der Übungen 63
d) Die rechte Beschaffenheit der Übungen 65
3) Die Massage 66
4) Speisen, die zum ἄριστον genossen werden 68
5) Speisen, die zum δεῖπνον genossen werden 79
6) Das φάρμακον διὰ τῆς σκίλλης 88
7) Die Bereitung des Oxymel 90
III) Der Schluß 92
IV) Der Anhang 94
Bemerkungen zur literarischen Form der Schrift 97

Literatur- und Abkürzungsverzeichnis

A U S G A B E

Praefatio

Galeni opusculum, quod ἐπιλήπτωι παιδὶ ὑποθήκη inscribitur[1], his codicibus Graecis traditum est[2]:

(V)	Vaticanus graec. 1845	s.XIII	f.142^{v}-152^{v}
(v)	Vaticanus graec. 285[3]	s.XVI	f.133 -139
(A)	Ambrosianus c 4 Sup.[4]	s.XV	f.233 -244
(M)	Marcianus 282[5]	s.XV	f. 1 - 2^{v}
(m)	Marcianus App.cl.V,9	s.XV	f.15o^{v}-155
(n)	Marcianus App.cl.V,5	s.XV	f.413^{v}-416
(a)	Parisinus graec. 2269[6]	s.XV	f.193 -2o1^{v}
(b)	Parisinus graec. 227o[7]	s.XV/XVI	f. 94^{v}-1o4^{v}
(c)	Parisinus graec. 2271[8]	s.XV	f.135 -142
(d)	Parisinus graec. Suppl.35[9]	s.XV/XVI	f.1o9 -12o
	Mosquensis 466	s.XVI	f. 78 - ?

M Codex Marcianus 282 membranaceus minore parte textus amissa a verbis νομίζω τὴν θεραπευτικὴν μέθοδον (3,5) media in sententia quamquam littera una grandi adhibita incipit. Hanc iacturam fortasse amisso folio effectam esse concludere possumus.

1) Versiones exstant hae: Fr.Heller, Über Pathologie u. Therapie d. Epilepsie im Altertum, Janus 16 (1911) p.597-6o5. O.Temkin, Galen's Advice for an epileptic Boy, Bull.Inst.Hist.Med., J.Hopkins Univ. Vol.II, Baltimore (1934) p.179-189. A.Bocco-Micca, Il "De puero epileptico" di Galeno, Rivista di Storia delle Scienze Mediche e Naturali, Anno 21, Vol.12 (193o) p.149-169. De versionibus Latinis cf.p. XIII
2) Cf. H.Diels, Die Hss. der antiken Ärzte. Griech. Abtlg., Abh.d.Preuss.Ak.d.Wiss. Berlin (19o6) p.96
3) Cf. I.Mercati et P.F.de'Cavalieri, Codices Vaticani Graeci, Tom.I (1923) p.395-4oo.
4) Cf. Martini et Bassi Catalogus Codicum Graecorum Bibliothecae Ambrosianae, Tom.I (19o6) p.178.
5) Cf. A.M.Zanetti et A.Bongiovanni Graeca D.Marci codicum manu scriptorum per titulos digesta (174o) p.136.
6) Cf. H.Omont, Inventaire sommaire des Manuscrits grecs de la Bibliothèque nationale, Tom.II (1898) p.227.
7) Cf. H.Omont, l.c.
8) Cf. H.Omont, l.c.
9) Cf. H.Omont, l.c., Tom.III (1898) p.2o7

d Codex Parisinus graec. Suppl.35 ultimam tantum textus partem habet principiumque capit a verbis μετὰ δὲ ταῦτα (17,4).

Duas codicum familias discerni posse constat et lacunis, quas supra rettuli, et inscriptionibus dissonis et variarum lectionum ubertate. Altera familia codicibus, quos litteris M d, altera eis, quos litteris V v A m n a b c significavi, consistit. Codices V v A m n a b c aut nullo titulo inscripti sunt aut (τῶι) ἐπιλήπτωι παιδὶ ὑποθήκη. at contra M περὶ δείπνου ἐπιλήπτωι παιδί inscriptus est. Uterque titulus in d legitur verbis "quartum est caput, tria priora deficiunt" sive prima sive secunda manu adscriptis. Ex magna variarum lectionum copia exempla ponam nonnulla, quae ad diversitatem codicum intellegendam satis habeo:

p.	M d	V v A m n a b c
17,11	τῶν	τῶν om.
17,2o	ἡμῖν	ὑμῖν
19,3	ἀποτρεφούση	ὑποτρεφούση
19,17	παρεμβάλλειν	παραλαμβάνειν
19,2o	ἡ γλυκύτητος om.	ἡ γλυκύτητος
2o,7	ἐκ	ἀπό
2o,9	διατρίβοντος	τρίβοντος
2o,12	ἤ	καί
2o,13	ἄλλα	ἅμα
2o,18	τοῖς μὴ τοιούτοις	τῶν μὴ τοιούτων
21,1o	ἰασάμην	ἰασάμενος
23,8	παιδίοις	παιδαρίοις

Codices M d insigni affinitate sunt. Tamen non alter ex altero descriptus esse videtur. In d enim minima tantum textus pars legitur et rursus in M magna lacuna verbis χοίρεα κρέα χρηστοῦ μὲν αἵματός ἐστι γεννητικά, ἀλλὰ γλίσχρου. τὰ δὲ λιμναῖα πάντα περιττωματικά, φυσώδη τε τὰ ὄσπρια καί (18,16-18) amissis invenitur. Cuius lacunae verba τὰ δὲ λιμναῖα πάντα περιττωματικά tantum etiam in d deficiunt.

Lectiones variae sunt hae:

p.	M	d
18,14	ταχεῖς	παχεῖς
2o,7	σκευαζομένων	σκευαζόμενον
2o,9	Ἀθήνηθέν	Ἀθήνηθί
21,4	γράφοι	γράφοιεν
21,11	πρόσθεν	ἔμπροσθεν
22,2o	τινι	τισιν
23,7	ἓν	ἕνα
23,16	δέ	δέ om.

Codicum V v A m n a b c familiae vetustissimus tes-
V tis est Vaticanus graec. 1845 bombycinus, de quo "nitide quamvis cum abbreviaturis exaratus, bonam memoriam satis caute tenens, in orthographia nihil absonum praebens praeterquam quod saepissime spiritum lenem pro aspero ponit ac vice versa" in collatione libelli, qui est de atra bile, annotavit Mewaldt.[1] Supremis in paginis litteris fortasse umore corrosis lacunae exstant:

1,13-14 παροξ[υσμούς. ἐπεὶ δὲ ὀλιγω]ροῦντα
2,15-16 ἰδιώτ[ην ἐστί, τὸ δὲ αὖ σύντομον]
4,1 [τε ἂν οὐ]

(lacunas uncis significavi)

Quae lacunae non insunt in codicibus m n b, ut codicem V antequam factae sunt transcriptum esse coniciam, quo e fonte m n b effluxerunt. Codices c v A a easdem lacunas praebent, qua re eos ex V derivatos esse demonstratur.

m Propinquissima cognatione coniuncti sunt Marcianus
n App.cl.V,9 chartaceus et Marcianus App.cl.V,5 membranaceus. "Notandum fortasse est, utrumque codicem ex S.S. Iohannis et Pauli monasterio Veneto in bibliothecam Marcianam traductum esse."[2] Mihi n ex m descriptum esse certum videtur. Corruptelas novas addidit n has:

1) Cf. W.de Boer, Galeni De atra bile, CMG V,4,1,1 (1937), cuius operis praefationem etiam ad ceteros codices tractandos inspicias.
2) Haec I.Heeg in collatione sua annotavit.

1,5 πλευσθεῖσθαι. 1,6 παρά. 6,12 πρό 7,1 ἐκτεθέρμαται. 7,1o σκοπός. 9,15 τε om. 13,7-8 βαφανίδες. 14,8 σημείων pro σκιλλῶν.

c v Simili affinitate sunt Parisinus graec. 2271 (olim Fontebl.-Reg.3153) chartaceus et Vaticanus graec. 285 (olim 224) chartaceus ex duobus codicibus conflatus, cuius pars prior eadem fere Galeni opera continet, quae quoque in c leguntur. Eos codices affines esse ex paucis communibus corruptelis intellegi licet: 3,4 μόριον. 3,2o σαφέστερα. 4,2 πρός om. 5,18 συντόνωι σφόδρα pro σφόδρα συντόνωι. Propriis corruptelis codicem v a codice c ductum esse constat: 2,11 μηδενῶς. 4,13 γινομένων. 5,14 τοῖς pro τῆς. 6,3 ὑπέρ pro εἴπερ.

A a Affines quoque sunt Ambrosianus C 4 Sup. membranaceus, miscellaneus et Parisinus graec. 2269 (olim Fontebl.-Reg.3145) chartaceus. Multae communes lectiones multaeque praecipue perparvae lacunae spatio relicto codices A a ex communi stirpe natos esse demonstrant, sed in utroque propriae corruptelae sunt:

A: 17,17 ὠπτομένων. 23,11 χλιάριον pro κοχλιάριον 23,14 ἐκλύουσι om.

a: 8,19 καί pro ἐπί. 14,14 ἐσκεβασμένον pro ἐσκευασμένον. 18,15 τά om. 23,5 καί om.

b Restat, ut de codice Parisino graec. 227o (olim Medic.-Reg.3149) chartaceo pauca disseram. Codicibus m n proximus est, quae res cum e lacunis, quas supra (p.XI) memoravi, tum e permultis corruptelis perspicua est. Sed huius codicis scriptor etiam classis c v A a testem nunc deperditum cognovisse videtur, quod lectiones in c v A a traditae etiam hic occurrunt: 1,12 τοῦτο (om. m n) 3,8 ἐπειδή (ἐπεί m n) 5,11 δέ (τε m n) 6,15 συνεκλέξηται (συνεκλέξοιται m n) 14,1o ἡμέραν (ἡμέραι m n) 14,15 ὠμῶν (ὑμῶν m n). Quibus de causis hunc codicem contaminatum esse censeo.[1)]

1) W.Richter hoc dubitat. Lectiones supra memoratae ex derivatione codicum V - m n explicari posse mihi scripsit.

Quae cum ita sint, stemma tibi finxeris hoc modo:



Archetypus ipse non carebat vitiis ita, ut emendatione textus indigeat his locis: 1,1o; 11,6; 12,9; 12,1o; 13,5; 13,9; 14,2; 17,14; 17,16; 18,4; 21,3; 22,3.

Praestantissimus omnium et ad textum constituendum imprimis adhibendus est codex V, cuius orthographiam ipsam quam saepissime sequor; tamen neque M neque d neglegendi sunt.

Versiones Latinae exstant duae.[1] De codice, quo ad versionem conficiendam Nicolaus Leonicus Thomaeus Patavinus[2] usus est, nihil dicere audeo nisi hunc a Graecorum codicum memoria non dissensisse. Augustinum Riccum[3] editione Aldina (aut codice M) usum esse annotatione, qua eum ἐκ ζωμῶν pro ἐξ ὠμῶν 14,15 legisse constat, demonstratur.

1) Cf. C.Choulant, Handb.d.Bücherkunde f. die ältere Medizin, Lips.1828 p.69sqq.
2) Natus est a.1428. Cf. G.Jöcher, Gelehrtenlexikon Tom.II (175o) p.2382sq. Versio eius exstat e.g. in editionibus: Basil.1561 ap. Frobenium; Venet.1562 ap. Valgrisium; Sexta Iuntarum Venet.1586. Haec versio etiam nonnullis verbis mutatis editionibus a Charterio et Kuehn paratis addita est. Cf. etiam Nicolai Leoniceni in libros Galeni e Greca in Latinam linguam a se translatos prefatio communis, Venet. 15o8.
3) Floruit medio saec. XVI. Cf. G.Jöcher, l.c. Tom.III (1751) p.2o66. Versio exstat in prima Iuntarum editione Venet.1541.

Inter auxilia artis criticae exercendae etiam medici inferioris aetatis, qui Galeni opusculum excerpserunt, nominandi sunt, testes propter vetustatem gravissimi, etsi rem magis quam verba curaverunt, Oribasium dico et Alexandrum Trallensem:

1. Oribasius, Syn. ad Eust. III, 188 (CMG VI,3):
πρὸς ἐπιληπτικοὺς τὸ διὰ τῆς σκίλλης. Μελιτηρὸν ἀγγεῖον οὐκέτι ἔχον μέλι παρασκευάσας ἐπίβαλλε σκίλλαν εἰς λεπτὰ διαθρύψας ταῖς χερσίν, εἶτα πωμάσας στεγανῶι πώματι καὶ περιθεὶς ἔξωθεν ὅλωι τῶι στόματι τοῦ ἀγγείου [τὸ] δέρμα καὶ δήσας ἀκριβῶς ἐν χωρίωι κατατίθημι πρὸς μεσημβρίαν μὲν ἐστραμμένωι, σκεπομένωι δ' ἀπὸ τῶν βορείων πνευμάτων ὡς μηδ' ὅλως ὑπ' αὐτῶν καταπνεῖσθαι. ποιῶ δὲ τοῦτο κατὰ τὴν τοῦ Κυνὸς ἐπιτολὴν ἐν τεσσαράκοντα ἡμέραις· ἀτρέμα δέ πως ἔν τισιν αὐτῶν ὑπαλλάττων τοῦ κεραμίου τὴν θέσιν, θερμαίνεσθαι κατὰ πᾶν μέρος ὁμοίως αὐτὸ βουλόμενος, εἶτα μετὰ τὸν χρόνον τῶν τεσσαράκοντα ἡμερῶν εὑρίσκω λύσας τὸ ἀγγεῖον ἡψημένωι παραπλήσιον τὸ σῶμα τῆς σκίλλης ἐξερρυηκότα δὲ τὸν χυλὸν αὐτῆς, ὃν ἀνελόμενος ἡδύνω μέλιτι καλλίστωι καὶ δίδωμι τούτου καθ' ἑκάστην ἡμέραν κοχλιάριον μεστόν, τοῖς μὲν παιδίοις μικρόν, τοῖς δὲ τελείοις μέγα. καὶ μέντοι καὶ τὰ σωματῶδες τῆς σκίλλης κόφας, λειώσας μετὰ μέλιτος δίδωμι κοχλιάριον ἕν, ὥσπερ εἴρηται. δευτέραν δύναμιν τοῦτο τοῦ πρόσθεν ἔχειν γίνωσκε.

2. Oribasius, Syn. ad Eust. VIII,3 (CMG VI,3):
πρὸς ἐπιληπτικούς. τοὺς ἐπιληπτικοὺς ὀνίνησιν ὀξύμελι καθ' ἑκάστην λαμβανόμενον, καὶ μάλιστα ἐὰν διὰ σκίλλης σκευασθῆι. ὠφελεῖ δ' αὐτοὺς καὶ κάππαρις σύνθετος συνεχῶς ἐσθιομένη καὶ τάριχος. ἔστι δὲ καὶ φάρμακον διὰ σκίλλης ὠφελιμώτατον τοιόνδε· τῶν μελιτηρῶν ἀγγείων παρασκευάσας τι καὶ εἰς λεπτὰ τὴν σκίλλαν διαθρύψας ταῖς χερσὶ καὶ βαλὼν εἰς τὸ ἀγγεῖον πωμάσας τε στεγανῶι πώματι καὶ περιθεὶς ὅλωι τῶι στόματι τοῦ ἀγγείου δέρμα καὶ δήσας ἀκριβῶς ἐν χωρίωι κατάθου πρὸς μεσημβρίαν μὲν ἐστραμμένωι, σκεπομένωι δ' ἀπὸ τῶν βορείων πνευμάτων. γινέσθω δ' ἐν τῆι τοῦ Κυνὸς ἐπιτολῆι· ἡμέραι δ'

εἰσὶ τεσσαράκοντα. ἀτρέμα δέ πως ὑπαλλάττειν χρὴ τὴν θέσιν τοῦ ἀγγείου· λύσας γὰρ μετὰ τὸν εἰρημένον χρόνον εὑρίσκεις τὸ σῶμα τῆς σκίλλης ἡψημένωι παραπλήσιον, ἐξερρυηκότα δὲ καὶ τὸν χυλὸν αὐτῆς, ὃν ἀνελόμενον ἡδύνειν χρὴ μέλιτι καλλίστωι καὶ διδόναι τούτου καθ' ἑκάστην ἡμέραν κοχλιάριον ἓν μεστόν, τοῖς μὲν παιδίοις μικρόν, τοῖς δὲ τελείοις μέγα. καὶ μέντοι καὶ τὸ σωματῶδες τῆς σκίλλης κόψας ἀκριβῶς καὶ λειώσας μετὰ μέλιτος δίδου κοχλιάριον ἕν· δεύτερον δ' ἐστὶ τοῦτο τῆι δυνάμει.

Oribasium locis citatis nostrum opusculum (p.22,6sqq.) excerpsisse constat.

3. Alexandrus Trallensis in libro, qui θεραπευτικά inscribitur, multa de epilepsia exponens fricationis apte exsequendi praecepta attulit, quae ita cum praeceptis p.8sqq. expositis consentiunt, ut ea ab hoc loco repetere perspicuum sit:

Alexandrus Tr. I 541 P.: δεῖ δ' ἐν τῆι ἀνατρίψει πρῶτον ἀπὸ τῶν βραχιόνων ἄρχεσθαι, ἔπειτα λοιπὸν ἔρχεσθαι ἐπὶ τὸ στέρνον καὶ τὴν γαστέρα καὶ μετὰ ταῦτα ἔρχεσθαι ἐπὶ τὰ σκέλη καὶ πλέον γε αὐτὰ καὶ ἰσχυρότερον ἀνατρίβειν, ὥστε καὶ διὰ τῆς τοιαύτης ἀνατρίψεως ἀντισπᾶν ἐπὶ τὰ κάτω τὰ ἄνω ῥέποντα περιττώματα. μετὰ δὲ τὴν τῶν ἄλλων μορίων ἀνάτριψιν τότε λοιπὸν καὶ τὰ περὶ τὴν κεφαλὴν ἀνατριβέσθω. πρότερον γὰρ οὐ δεῖ, ὥστε μὴ εἰς αὐτὴν εὐθὺς ἕλκεσθαι πάντα. μετὰ δὲ τὰ γυμνάσια καὶ τὴν ἀνάτριψιν εὐθὺς μὴ ὁμιλείτω ψυχρῶι ἀέρι, ἀλλ' ἀναμείνας, ὥστε διαπνεῦσαι τὸ θερμὸν ἡρέμα καὶ συνεχὲς τοῦ πνεύματος. οὕτως ἔρχεσθαι ἐπὶ τὰ συνήθη καὶ τροφὴν προσήκουσαν λαμβανέτω.

Ald. Bas. Chart. K. Editio Aldina (cur. J.Bapt.Opizo, Venetiis 1525) codicum et M et m n lectiones habet. Ex ea editione reliquae omnes effluxerunt. Editio Basileensis (cur. I.Camerarius, Lh.Fuchs, H.Gemusaeus 1538) coniecturis magna sagacitate inventis (12,9; 17,16) eminet. Huius editionis textum editiones a R.Charterio (Parisiis 1679) et C.G.Kuehn (Tom.XI, Lipsiae 1826) paratae paucis exceptis conservaverunt.

Codicibus Mosquensi 466 (s.XVI) et Monacensi hebraico 295 (s.XV), qui versionem Arabicam continet, uti non potui. Ceterorum codicum folia, quibus libellus continetur, arte photomechanica expressa contuli editionesque inspexi. Gratias ago bibliothecis Nationali Parisiensi, Apostolicae Vaticanae, Ambrosianae, Marcianae, quod benignissime phototypa paranda curaverunt atque mihi in usum tradiderunt; Carolo Deichgraeber gratiam debeo, quod collationes ab I.Heeg factas (nunc in Academiae Berolinensis aedibus conditas) mihi comparandas tradidit.

Conspectus siglorum

Codices

V	= Vaticanus Graecus 1845 s.XIII
c	= Parisinus Graecus 2271 s.XV
v	= Vaticanus Graecus 285 s.XVI
A	= Ambrosianus C 4 Sup. s.XV
a	= Parisinus 2269 s.XV
b	= Parisinus Graecus 2270 s.XV/XVI
m	= Marcianus App.cl.V,9 s.XV
n	= Marcianus App.cl.V,5 s.XV
M	= Marcianus 282 s.XV
d	= Parisinus Graecus Suppl.35 s.XV/XVI
ω	= Codicum c v A a b m n consensus

Editiones

Ald.	= Editio Aldina, Venetiis 1525
Bas.	= Editio Basileensis 1538
Chart.	= .. Cl.Galeni ... Opera ed. R.Charterius, Parisiis 1679
K	= Cl.Galeni Opera omnia ed. C.G.Kühn, Lips. 1821-33
Hipp.	= Oeuvres complètes d'Hippocrate ed. E.Littre, Parisiis 1839-61
Diosc.	= Pedanii Dioscuridis De materia medica ed. M.Wellmann, Berol. 1907-14
Orib.	= Oribasius Syn. ad Eusth., CMG VI,3 ed. I.Raeder, Lips.1926
Paul.Aeg.	= Paulus Aegineta, CMG IX,1-2 ed. I.L.Heiberg, Lips. 1921-24
Alex.Tr.	= Alexander v. Tralles ed. Th.Puschmann, Viennae 1878-79
Theophr.	= Theophrasti ... quae supersunt omnia ed. I.G.Schneider, Lips. 1818-21
Deichgr.	= K.Deichgräber

Apparatus similium saepe caret locis e Galeno haustis, qui in commentario tractantur.

ΕΠΙΛΗΠΤΩΙ ΠΑΙΔΙ ΥΠΟΘΗΚΗ

K XI

1. Ἐγὼ μὲν ὤμην, ὦ Καικιλιανέ, 357
μηδὲν δεήσεσθαί σε τῶν ἡμετέρων ὑποθηκῶν εἰς τὴν τοῦ παιδὸς νόσον. ὁ γὰρ καὶ τεθεαμένος αὐτὸν ἤδη καὶ μέλλων ἅμα σοι πλευσεῖσθαι πάλιν ἐς Ἀθήνας Διονύσιος ἱκανός ἐστι καὶ πρᾶξαι παρὼν τὰ δέοντα καὶ χωριζόμενος αὖθις ὑποθήκας διδόναι τῇι τοῦ νοσήματος ἕξει προσηκούσας. ἐγὼ δὲ μηδεπώποτε τεθεαμένος τὸν παῖδα τάχ' ἂν πολὺ καὶ σφαλείην οὔθ' ὅπως ἐξ ἀρχῆς ἡ φύσις αὐτῶι ⟨πρὸ⟩ τοῦ νοσήματος οὔθ' ὅπως νῦν ὑπὸ τοῦ νοσήματος γινώσκων, ἀλλ' ἢ μόνον αὐτὸ τοῦτο παρ' ὑμῶν 358
ἀκούων ἐπιληπτικοὺς αὐτῶι γίνεσθαι παροξυσμούς. ἐπεὶ δὲ ὀλιγωροῦντά με μᾶλλον ἢ ἀληθεύοντα νομίζεις ἀποδιδράσκειν τὴν γραφήν, ὃ μηδέποτε πρότερον ἔπραξα, τοῦτο νῦν ὑπομένω πρᾶξαί σοι χαριζόμενος ὑποθήκας τινὰς γράψαι θεραπείας ἐπιλήπτου παιδός, ἐν αἷς ἀνάγκη τι καὶ παρακοῦσαι τὸν ἰδιώτην καὶ σφαλῆναι περὶ τὸ μέτρον ἢ τὸν καιρὸν

2 Καικιλιανέ cf. Prosop.imp.Rom.II^{2}p.2 Nr.12; A.Stein, RE III,1 1172 Art. Caecilianus Nr.3. 8-13 cf. 15,9sqq. 19sq. cf. 21,19sqq.

V

1 ἐπιλήπτωι παιδὶ ὑποθήκη V ω : περὶ δείπνου ἐπιλήπτωι παιδί M : τῶι ἐπιλήπτωι παιδὶ ὑποθήκη et in marg. περὶ δείπνου ἐπιλήπτωι παιδὶ ὑποθήκη d

10 πρό] add. Bas. 13/14 παροξ .. ροῦντα lac. V : παροξυσμοὺς .. ροῦντα lac. A a v c, in c secunda manu insertum ἐπεὶ δὲ ὀλιγαρτο 14/15 νομίζεις] νομίζειν m n c v b Ald.Bas.: νομίσεις A a

τῆς χρήσεως. ἀποδέδεικται γὰρ ἡμῖν ἐν ἑτέροις
ὡς οὐκ ἐνδέχεται χωρὶς τοῦ μέθοδόν τινα ἐκμα-
θεῖν θεραπευτικὴν ἰάσασθαί τι καλῶς οὐδὲ τῶν
σμικροτάτων νοσημάτων μή τί γε τῶν οὕτω με-
γάλων ἡλίκον καὶ τὸ τῆς ἐπιληψίας ἐστί. καὶ
ὅ γε Δ ι ο ν ύ σ ι ο ς ἔφθανεν ἤδη κεκοι-
νῶσθαί τε ἐμοὶ καὶ συνδιεσκέφθαι περὶ τῆς ὅλης
θεραπείας τοῦ παιδός, πρὶν καί σε κελεῦσαι
γράψαι τὰς ὑποθήκας τάσδε. ἀλλ' ἐκείνωι μὲν
βαιδίως τὴν ἐμαυτοῦ γνώμην ἐδήλωσα συνιέναι τε
τῶν λεγομένων δυναμένωι καὶ παρακοῦσαι μηδενὸς
ὡς ἱκανῶς ἠσκημένωι περὶ τὴν θεραπευτικὴν
μέθοδον, σοὶ δὲ οὐδ' ὅπως διέλθω τὸν λόγον
οἶδα. τὸ μὲν γὰρ ἀκριβὲς ἐν αὐτῶι διορισμῶν
τε δεῖται πολλῶν καὶ ἀσαφέστερον ἢ κατὰ ἰδιώτην
ἐστί· τὸ δ' αὖ σύντομόν τε καὶ σαφὲς οὐκ ἀκρι- 359
βὲς ὑπάρχει.

ταὐτά τοι καὶ γράφειν ὤκνουν τὰς ὑπο-
θήκας καίτοι πάνυ χαρίζεσθαί σοι προθυμούμενος,
ὅμοιόν τι πείσεσθαι προσδοκῶν οἷον ἂν ἔπαθε καὶ

2 μέθοδον θεραπευτικήν: Gal. θεραπευτικὴ μέθοδος X 1sqq. K. 6/8 cf. 5,8/9

V

15/16 ἰδιώτ ... τε καὶ lac.V: ἰδιώτ .. καὶ lac. A a : ἰδιώτην .. καὶ lac. c v, in c secunda manu completa.

Φ ε ι δ ί α ς, εἰ μετὰ τὸ τῆς Ἀθηνᾶς ἄγαλμα
πλάττειν ἠναγκάζετο δάκτυλον μὲν ἰδίαι, ἰδίαι
δ' αὖ βραχίονα καὶ πόδα καὶ ῥῖνα καὶ οὖς
ἕκαστόν τε τῶν ἄλλων μορίων. ἐμοὶ γὰρ οἷον
ἄγαλμά τι γεγράφθαι νομίζω τὴν θεραπευτικὴν
μέθοδον ἐν ὑπομνήμασι πλείοσιν οὐχ ὅπως ἰδιώτας
ὠφελεῖν δυναμένην ἀλλ' οὐδὲ τοὺς ἐπιτυχόντας
τῶν ἰατρῶν. ἐπειδὴ δὲ σὺ βιάζεις με περὶ μορίου
ἑνὸς τῆς τέχνης ποιήσασθαι τὸν λόγον ἄνευ τῆς
ἄλλης ἁρμονίας, εἴκω τῇι βίαι καὶ πείθομαι καὶ
γράφω σοι μὲν αὐτάρκεις ὑποθήκας· ἱκανὸν γὰρ
ἰδιώτηι μὴ μέγα τι καὶ ἀνήκεστον ἐξαμαρτεῖν ἐν
ταῖς τῶν ἰατρῶν καὶ μάλιστα τῶι νομίμως μεμαθη-
κότι τοιούτοις ὁμιλεῖν ὑπομνήμασιν. ἐκείνοις μὲν
οὖν ἡ τῆς θεραπευτικῆς μεθόδου πραγματεία γέγραπ-
ται, σοὶ δὲ καὶ τοῖς ἄλλοις, ὅσοι τεχνῶν | μέν 360
τινῶν ἐστε λογικῶν ἐπιστήμονες, ἰδιῶται δὲ τῆς
ἰατρικῆς, γένοιτ' ἂν ἴσως καὶ παρὰ τοῦδε τοῦ
γράμματος ὠφέλεια.
2. πειράσομαι δὲ ὡς οἷόν τε σαφέστατα
διελθεῖν, ὧι χρώμενος ὁ παῖς τρόπωι τῆς διαίτης

1 Φειδίας: CMG Suppl.II p.17,9; scr.min.II p.4,5; III p.160,15; De usu part. ed.Helmreich I p.175,7 = III 238 K. 4sqq.: Gal. θεραπευτικὴ μέθοδος X 1sqq.K. 16/17 τεχνῶν .. λογικῶν cf. scr.min. I p.129

V a verbo νομίζω p.5: V M

7 δυναμένην] Edd. δυναμένη codd. Scriptio codicum fortasse servanda interpunctione posita ante οὐχ ὅπως v.p.52 8 ἐπειδὴ] ἐπεὶ M m n σὺ βιάζεις με] σοι βιάζομαι M 9 ἑνὸς τῆς] τινὸς M 10 εἴκω] ἧκω V ω 13 τῶι] τὸ V A a : τὸν c v 17 τινῶν] om. M

ὀνίναιτό τε ἂν οὐ σμικρὰ καὶ ἥκιστα βλάπτοιτο
πρὸς τῶν ἐφ' ἡμέραι συμπιπτόντων ἀδοκήτως αὐτῶι.
3 φυλάττεσθαι μὲν οὖν καὶ ταῦτα προσήκει καθ' ὅσον
ἐγχωρεῖ. περιπίπτειν γε μὴν ἀναγκαῖον ἐνίοτε
καὶ κρύει καὶ θάλπει σφοδρῶι καὶ ἀνέμοις ἰσχυροῖς
6 καὶ λουτροῖς μοχθηροῖς καὶ †τροφαῖς ἐκπληκτικαῖς
καὶ τροχοῖς περιδινουμένοις καὶ ἀστραπαῖς καὶ
βρονταῖς ἀγρυπνίαις τε καὶ ἀπεψίαις καὶ λύπηι
9 καὶ θυμῶι καὶ κόπωι καὶ ἄλλοις τοιούτοις, ὧν τὸ
κεφάλαιόν ἐστι σφοδρῶς κινῆσαι καὶ ταράξαι τὸ
σῶμα καὶ τοῦ πάθους ἀναμνῆσαι καὶ παροξυσμὸν
12 γεννῆσαι. ταῦτά τε οὖν ἐκ πολλοῦ προφυλάττεσθαι
προσήκει καί, εἴ ποτε γεγενημένων αὐτῶν παρακολου-
θήσει παροξυσμός, ἀποσχέσθαι μὲν τελέως τηνικαῦτα
15 πάσης κινήσεως, ἐπὶ δὲ τῆς οἰκίας διατρῖψαι καὶ
πάνυ λεπτῶς διαιτηθῆναι, μέχρι πέρ ἂν ἀπόθηται
τὸ σῶμα | τὸν ἐκ τοῦ παροξυσμοῦ κάματον. ἥτις δὲ 361
18 ἡ λεπτὴ δίαιτη καὶ γινώσκειν μὲν οἶμαί σε καὶ διὰ
τῶν ἐφεξῆς ἀναγνοὺς οὐδὲν ἧττον ἀκούσηι τι περὶ
αὐτῆς. ἄρξασθαι γὰρ οὖν ἤδη μοι τῶν ὑποθηκῶν καιρός.

18 λεπτὴ δίαιτα cf. Gal. περὶ λεπτυνούσης διαίτης CMG V,4,2 p.433sqq.

V M

1 ὀνῆναιτό .. σμικρά lac.V: ὀνῆναι .. σμικρά lac.A a: ὀνήναιτό τε m n: ὀνῆναι τότε b: ὀνῆναι τέ γε c v 4 ἀναγκαῖον] οὐκ ἀναγκαῖον V ω 6 τροφαῖς] corruptum, τροπαῖς proponit Deichgr., cf.p.54 11 τοῦ] ἐπὶ Bas. 12 τε] om. m n: δὲ Edd. προφυλάττεσθαι] φυλάττεσθαι M 13 γεγενημένων] γενομένων V m n A a b c: γινομένων v 14 ἀποσχέσθαι] ἀπέχεσθαι M 16 ἀπόθηται] ἀπωθῆται M 19 ἀκούσηι] ἀκολουθήσει M

3. εἰσβάλλοντος τοῦ ἦρος - καὶ γάρ πως
οὕτως συμβαίνει κινεῖσθαι τὰ τῆς ἐπανόδου -
3 καθῆραι φημὶ χρῆναι τὸν παῖδα μετρίαι καθάρσει.
ταύτης δ' ἂν ἐπιστατήσειε καὶ προσταίη παρὼν
ὁ Διονύσιος εἰδὼς ἀκριβῶς, ὅπως τε
6 χρὴ παρασκευάσαι πρὸς τὴν κάθαρσιν τὸ σῶμα καὶ
ὠιτινι χρήσασθαι φαρμάκωι καὶ ἐν πόσωι καὶ ἐν
ὁποίωι καιρῶι. καὶ μὲν δὴ καὶ μεθ' ἡμῶν ὑπὲρ
9 τούτων ἤδη διέσκεπται, ὥστε τὸ μὲν σῶμα παρὸν
ἔχεις Ἀθήνησι τοῦ Διονυσίου, τὴν
ψυχὴν δὲ καὶ τὴν γνώμην ἅμ' ἐκείνωι καὶ τὴν
12 ἐμήν.

μετὰ δὲ τὴν κάθαρσιν ὅταν ὅ τε
Διονύσιος οἴχηται καὶ ὁ παῖς ὑπο-
15 λείπηται κατὰ τὰς Ἀθήνας, ὧδε χρὴ διαιτᾶν
αὐτόν· ἕωθεν μὲν ἐκ τῆς κοίτης ἀναστὰς πρὶν
τοῖς διδασκάλοις φοιτᾶν περιπατείτω μέτρια μὴ
18 σφόδρα συντόνωι βαδίσματι. τὸ δὲ ἀπὸ τοῦδε
μέχρι τοῦ τῆς παλαίστρας καιροῦ τοῖς | μαθήμασι 362
σχολαζέτω καθότι σύνηθες· ἐπειδὰν δὲ πρῶτον

1 εἰσβάλλοντος τοῦ ἦρος cf. p.19,7 et XVII,II 563; V 693; XI 343 K. 2 τὰ τῆς ἐπανόδου cf. CMG V,9,2 p.109 8/9 cf. 2,6/8

V M

8 ὁποίωι] ποίωι M 11 δὲ] τε M 17 φοιτᾶν] φυτᾶν c Ald., in c suprascr. οι μέτρια] μετρία M

αὐτῶν ἀπαλλαγῆι, περιπατήσας αὖθις οὕτως εἰς τὸν παιδοτρίβην ἀπίτω.

χρὴ δὲ τοῦτον εἴπερ τινὰ καὶ ἄλλον τῶν προνοησομένων τοῦ παιδὸς ἱκανῶς εἶναι φρόνιμον. ἔστι δὲ οὐ πάνυ τι ῥάιδιον εὑρεθῆναι τοιοῦτον ὡς ἂν ἐξ ἀνθρώπων τῆς ἐκλογῆς γινομένης ἀπαιδεύτων τοὐπίπαν καὶ οὕτως ὀνωδῶν τε καὶ παχέων τὴν ψυχὴν ὥσπερ καὶ τὸ σῶμα. μὴ τοίνυν ὡς μικρὸν τοῦτο παρέλθοι σε μηδὲ ἐπιτρέψηις τὸν παῖδα τῶι προστυχόντι γινώσκων, ὡς τὸ μὲν κεφάλαιον τῆς θεραπείας ἐν δυοῖν τούτοιν ἐστί, τῆι χρήσει τοῦ δοθέντος σοι πρὸς ἐμοῦ φαρμάκου καὶ τοῖς γυμνασίοις. τὰ δὲ ἄλλα πάντα παρασκευή τις ὑπάρχει πρὸς ταῦτα. τὸν μὲν δὴ παιδοτρίβην συνεκλέξεταί σοι Δ ι ο ν ύ σ ι ο ς.

ἔστωσαν δὲ αὐτῶι σκοποὶ τῶν γυμνασίων ἐν μὲν τῆι ποσότητι τό τε πρὶν κάμνειν ἀναπαύειν τὸν παῖδα καὶ τὸ θερμῆναι σύμπαν τὸ σῶμα καὶ κενῶσαι συμμέτρως. ἄμφω δὲ εἰς ἕνα καὶ τὸν αὐτὸν καιρὸν συμβαίη· ἡνίκα γὰρ αὐτάρκως

12 φαρμάκου cf.19,6 17/18 θερμῆναι ... καὶ κενῶσαι cf. CMG V,4,2 p.61,14

V M

1 αὐτῶν] αὐτὸν V ω 3 εἴπερ] ὑπὲρ M v Ald. 4 τῶν προνοησομένων] οὐ προνοησομένου M τοῦ] τε V ω 9 παρέλθοι] παρελθεῖν M : παρέλθει Ald.: ἐπιτρέψηις] ἐπιτρέψεις Bas.K. 12 σοι] σου M 15 συνεκλέξεται] scripsi συνεκλέξηται V c v A a b: ἐκλέξεται M : συνεκλέξοιται m n Ald.: συνεκλέξοιτο Bas.K. 19/20 ἕνα καὶ τὸν αὐτὸν καιρὸν] ἕνα καιρὸν τὸν αὐτὸν V ω 20 συμβαίη] συνέβαινεν M γὰρ] δ' ἂν M

ἐκκενοῦται τὸ περιττόν, ἐκτεθέρμανται δὲ
ἱκανῶς ἤδη τὸ | σῶμα, τηνικαῦτα καταπαύων τις 363
3 τὰ γυμνάσια πρὶν ἄρχεσθαι πονεῖν ἀναπαύσεται·
τὸ δὲ ἐπέκεινα τοῦδε τοῦ καιροῦ γυμνάσιον
ἄπτεται μὲν ἤδη τῶν στερεῶν σωμάτων καὶ συν-
6 τήκει τὴν ἕξιν, ἀθροίζει δὲ ἔν τε τοῖς ἄρθροις
μάλιστα καὶ τοῖς μυσὶ τὰ συντήγματα. κάν-
τεῦθεν ὅ τε κάματος ἕπεται τῆς δυνάμεως ἢ θ'
9 ἑλκώδης αἴσθησις, ἐπειδὰν κινῆσαί τι μόριον
ἐπιχειρήσωσι, καὶ τοῦτ' ἐστὶν ὁ κόπος. οὐ μόνον
τοίνυν φρόνιμον ἀλλὰ καὶ τρίβωνα μετρίου γυμ-
12 νασίου εἶναι χρὴ τὸν παιδοτρίβην, ὡς μήτε
θᾶττον τοῦ δέοντος καταπαύοι δεδιὼς τὸν ἀκολου-
θήσοντα κάματον μήτε θερμῆναι καὶ κενῶσαι τελέως
15 ἅπαν τὸ περιττὸν ὀριγνώμενος ἐφάψαιτο τῶι κόπωι
περιβάλλειν τὸν παῖδα.

τοῦ μὲν δὴ μετρίου τῶν γυμνασίων οὗτοι
18 σκοποί· τῆς ποιότητος δὲ ῥῶσαι σύμπαντα τὰ
μόρια καὶ μάλιστα κεφαλὴν καὶ γαστέρα καὶ ταύ-
της ἐξαιρέτως τὰ κατὰ τὸ στόμα. ὅπως δ' ἄν τις

9 ἑλκώδης αἴσθησις cf. CMG V,4,2 p.84sqq.
18 ῥῶσαι cf. CMG V,4,2 p.69,33

V M

3 ἀναπαύσεται] ἀναπαύεται M 5 ἤδη] δὴ M : εἴδη a τε] om.M 8 ἢ θ'] εἰθ' V ω
9 μόριον] om.M 10 ἐπιχειρήσωσι] ἐπιχειρήσασι M Ald. 11 τοίνυν] δὲ M τρίβωνα] τρίβων εἶ c v: τρίων M 15 ἐφάψαιτο] ἐφάψαι τὸ M: om.V ω Edd. τῶι κόπωι] τοῦ κόπου M
17 μετρίου] μέτρου M 20 τὸ στόμα] τῆς γαστρὸς add.M Edd.

καὶ τούτου τυγχάνοι καὶ δὴ φράσω. πρῶτον μὲν
ἐπειδὴ τὰ σφοδρὰ γυμνάσια πληροῖ τὴν κεφαλήν,
3 ἀπέχεσθαι τῶν τοιούτων κελεύω. δεύτερον, εἰ
καὶ δεήσειέ ποτε | χρήσασθαι, τῆς κεφαλῆς ὀρθίας 364
ἀνεστηκυίας κινείσθω τὰ κάτω καὶ τούτων μᾶλλον
6 τὰ σκέλη· καὶ τρίτον ἐπὶ τούτοις ἀπὸ σμικρῶν
καὶ βραδέων κινήσεων ἀρξάμενος ὁ παιδοτρίβης
ἐπὶ τὸ σφοδρότερόν τε καὶ θᾶττον οὕτως ἀναγέτω.
9 τὸ δὲ ἁθρόως ἐπὶ τὸ σύντονον ἔρχεσθαι γυμνάσιον
οὐ τοῖς ἀσθενέσι μόνον ἀλλὰ καὶ τοῖς ἰσχυροῖς
σώμασιν ἐσχάτως βλαβερόν.
12 ἡγεῖσθαι δὲ χρὴ καὶ τὴν τρῖψιν εἶναι
γυμνάσιον καὶ μάλιστα τοῖς ἀσθενεστέροις σώμασι
καὶ πολλάκις γε καὶ μόνη καλῶς γινομένη τῶν γε
15 ἄλλων κινήσεων οὐδὲν ἔτι προσδεῖται. χρὴ δὲ τὰ
μὲν πρῶτα διὰ σινδόνων ἀτρέμα ἄνωθεν κάτω τῶν
χειρῶν φερομένων ἐρυθραίνειν τὸ σῶμα τὴν ἀρχὴν
18 ἀπὸ βραχιόνων τε καὶ χειρῶν ποιουμένους, εἶθ'
οὕτως ἐπὶ τὰ στέρνα τε καὶ γαστέρα προϊόντας,
ἐφεξῆς δὲ καὶ τὰ σκέλη τρίβειν ἱκανώτερον, ὡς

8,18 - 9,6 exc. Alex.Tr. I 541 P.

V M

2 ante ἐπειδὴ] ὅτι M 5/5 καὶ τούτων ... τούτοις] om. M 9 ἔρχεσθαι] ἄρχεσθαι M 11 ἐσχάτως] om. M 12 τὴν] om. V ω 14 γε καὶ μόνη καλῶς] καλῶς γε καὶ μόνη M τῶν γε] γε om. M 15 οὐδὲν ἔτι] οὐκέτι M 20 ἐφεξῆς] καθεξῆς M

ἐκ τῶν ἄνω τι μεταῤῥέοι τῆιδε, κἄπειθ' οὕτως
ἅπτεσθαι τῆς κεφαλῆς. τὸ δὲ εὐθὺς ἐξ ἀρχῆς
ἐπὶ ταύτην ἰέναι σφαλερόν· ἔτι γὰρ μεστοῦ
τοῦ σώματος ὄντος ἐπὶ τὸ πρῶτον θερμανθὲν
ἕλκεται τὰ περιττώματα. χρὴ τοίνυν τῶν ἄλλων
ὑστάτην | μορίων τρίβεσθαι τὴν κεφαλήν, ὡς 365
εἴρηται νῦν, χωρὶς τοῦ λίπους. ἐπειδὰν δὲ
καὶ τὸ ἔλαιον προσαγάγηις, οὐδὲν κωλύει σὺν
[καὶ] τοῖς ἄλλοις ὥστε τὸν μέν τινα τὴν κε-
φαλήν, ἑτέρους δὲ δύο τὰ περὶ τὰ στέρνα τε
καὶ τὴν γαστέρα καὶ τοὺς ἄλλους δύο τὰ σκέλη
τρίβειν.

οὕτως δὲ καὶ μετὰ τὰ γυμνάσια καὶ
μᾶλλόν γε τηνικαῦτα τρίβειν ἅμα σύμπαντα τὰ
μέλη. θᾶττόν τε γὰρ οὕτως ἀναπαύεται τὸ σῶμα
καὶ ἧττον περιψύχεται. χρὴ δὲ εἴπερ τινὸς
ἄλλου καὶ τούτου φροντίζειν. ἀλουτεῖν δὲ προσ-
ήκει τὰ πολλὰ καὶ τῆς παλαίστρας μὴ εὐθὺς ἐξ-
ιέναι μετὰ τὸ γυμνάσιον, ἀλλ' ἐπειδὰν ἀκριβῶς
κατάστηι τὸ πνεῦμα καὶ παύσηται τελέως ἡ ἐκ

6 ὑστάτην ... κεφαλήν cf. Paul.Aeg. CMG IX,1 p. 155,12 7 χωρὶς τοῦ λίπους cf. Gal. CMG V,4,2 p.41,31 17 ἀλουτεῖν cf. Gal. CMG V,4,2 p.177,6

V M

6 μορίων] om. M 7 νῦν] τοίνυν M δὲ] om. M
9 καὶ] delevi 10 τὰ στέρνα] τὰ om. M
14 γε] καὶ M 15 ἀναπαύεται] ἀναπαύσεται M
17 ἀλουτεῖν] ἄλουστον M 18 τῆς παλαίστρας] ταῖς παλαίστραις V ω

τοῦ γυμνασίου ταραχή, τηνικαῦτα δή που καὶ
τὴν κεφαλὴν ἐπιπλεῖστον τρίβειν σινδόνι,
πολλάκις δὲ καὶ κτενὶ προσχρῆσθαι.
4. Μετὰ δὲ ταῦτα πρὸς τὸ ἄριστον
ἰέναι καὶ τι πρῶτόν γε αὐτοῦ τῶν λαπαττόν-
των τὴν γαστέρα λαχάνων ἢ καὶ ταρίχους ἢ
πτισάνης ἢ ἐλαιῶν ἅμα τῷι τρίτωι μέρει τοῦ
ἄρτου προσενεγκάμενον εἰς τὸ δεῖπνον ἀποθέσθαι
τὰ λοιπὰ δύο μέρη μετὰ τῶν ἰσχυροτέρων ὄψων. 366
εἰρήσεται δὲ τὰ ἰσχυρότερα μικρὸν ὕστερον,
ἐπειδὰν πρότερον ἅπαντα διέλθω τὰ χωρὶς βλάβης
λαμβανόμενα.

λαχάνων δὲ οὔτε θριδακίνης οὔτε μα-
λάχης οὔτε ἀτραφάξυος οὔτε βλίτου τὸ σύμπαν
εἴργασθαι κελεύω, λαμβάνειν δὲ οὐκ ἀεὶ μὲν
ταὐτό, ἄλλοτε δὲ ἀπ' ἄλλου τὸ μέτριον. ἐκ ταὐ-
τοῦ δὲ γένους ἐστὶ καὶ τευτλον καὶ κράμβη· χρὴ
γὰρ καὶ τούτων ἀπογεύσασθαι τὰ σύμμετρα. πράσου
δὲ καὶ σελίνου καὶ σμυρνίου προσάφασθαί ποτε
συνοίσει καὶ τῶν ὀπωρῶν, ὅσαι μὴ παντάπασιν

1o εἰρήσεται cf.17,8sqq. 13 θριδακίνης Theophr. h.pl.VII,4,5; Hipp.VI 558 L.; Diosc.II 136 W. μαλάχης Theophr.h.pl.I,9,2; VII,8,1; Diosc.II 118 W. 14 ἀτραφάξυος Theophr.h.pl.Vii,4,1; Diosc.II 119 W. βλίτου Theophr.h.pl.I,14,2; Hipp.VI 56o L. Diosc.II 117 W. 17 τευτλον Theophr.h.pl.VII,4,4; Hipp.VI 56o L.; Diosc.II 123 W. κράμβη Theophr. h.pl.IV,16,6; Hipp.VI 56o L.; Diosc.I 12o-122 W. 18 πράσου Hipp.VI 558 L.; Diosc.II 149 W. 19 σελίνου Theophr.h.pl.VII,4,6 et 5,3; Hipp.VI 558 L.; Diosc.III 64 W. σμυρνίου Diosc.III 68 W.

V M

1 δή που] ἤδη M 3 καὶ κτενὶ] κτενὶ δὲ M 4 δὲ ταῦτα] ταῦτα δὲ M 5 πρῶτον] πρὸ V ω 7 ἐλαιῶν] ἐλάων V ω: ἐλαίου M 8 προσενεγκάμενον] προσενεγκαμένων M 9 μετὰ] om. V ω 13 δὲ] postea lineola deletum M:om.V ω 15 εἴργασθαι] εἴργασται M μὲν] om.M 16 δὲ] om.M 17 τὸ ante τευτλον add.M 18 ἀπογεύσασθαι] ἀπογεύεσθαι M 19 δὲ] om. V ω καὶ σμυρνίου] om.M

ὠμαὶ καὶ δύσπεπτοι τὴν φύσιν εἰσίν. ἴσχουσί τε
γὰρ τὰ περιττώματα σφῶν αὐτῶν καὶ τῶν ἄλλων
3 σιτίων.

τά τε οὖν μόρα καὶ τὰ πρακόκκια
καλούμενα καὶ τὰ σῦκα καὶ εἴ τινα τούτοις ἔοικεν
6 ἁλύπως διέξεισι· καὶ ἡ καλουμένη κολοκύνθη [καὶ]
τῶν μαλακωτάτων λαχάνων οὐδενὸς ἀποδεῖ καὶ οἱ
πέπονες οἱ σίκυοι· μοχθηροὶ γὰρ ὅσοι μὴ τοιοῦτοι.
9 καὶ βοτρύων πεπείρων ἄφασθαί ποτε συγχωρῆσαι τῶι
παιδί, μήλων τε καὶ ἀπίων ἐλάχιστά τε καὶ σπανιάκις
προσφέρεσθαι καὶ | ταῦτα μὴ μόνον ἐπὶ τοῦ δένδρου 367
12 κατειργασμένα καλῶς, ἀλλὰ καὶ μετὰ τὴν ἀφαίρεσιν
ἐπὶ τῆς οἰκίας.

εὖ γὰρ εἰδέναι χρὴ περὶ τῶν εἰς ἀπόθεσιν
15 ἐπιτηδείων ἀκροδρύων ὡς οὐδὲν ὅμοιον ἔχει τοῖς
παλαιοῖς τὰ πρόσφατα. δύναται δὲ ἀποτίθεσθαι μῆλά
τε καὶ ἄπια καὶ τὰ πλεῖστα τῶν ἀκροδρύων καὶ τὰ
18 Δαμασκηνὰ προσαγορευόμενα καὶ αἱ ἰσχάδες. τούτου
τοῦ γένους εἰσὶ καὶ αἱ βάλανοι τῶν φοινίκων, ὧν
οὐδὲ ἔργω τελέως, ἀλλ' ἐν καιρῶι τε καὶ μέτρια

4 μόρα Diosc.I 126 W.: cf.s.v. συκαμίνοι Theophr. h.pl.IV,2,1; Hipp.VI 562 L. πρακόκκια Diosc. I 115,5 W. 5 σῦκα Hipp.VI 564 L. Diosc.I 128 W. 6 κολοκύνθη Hipp.VI 560B L.; Diosc.II 134 W. 7 πέπονες σίκυοι Hipp.VI 654 L.; Diosc.II 135 W. 18 Δαμασκηνά Diosc.I 121 W. 19 φοινίκων Theophr. h.pl.II,6; Diosc.I 109 W.

V M d

1 τε] M 4 πρακόκκια] corr.K: πρακόκια M: πρεκόκκια V c v b A a : πρεκόκια m n 6 κολοκύνθη] κολοκύτη M καὶ] del.Bas. 10 μήλων τε] μήλων δὲ M 17 ἄπια] ἅπαντα M 19 αἱ] om. M

προσφέρεσθαι συγχωρῶ, τὸ δὲ κατ' ἑκάστην ἡμέραν ἢ πολλὰ φυλάττεσθαι συμβουλεύω. καθόλου δὲ εἰπεῖν, ὅσα κακόχυμα τῶν ἐδεσμάτων ἐστὶν ἢ ἐπέχοντα τὴν κοιλίαν ἢ φυσώδη καὶ δύσπεπτα συνεχῶς ἢ πλείω τοῦ καιροῦ προσφερόμενα, βλάπτειν εἴωθεν οὐ τοῦτο τὸ νόσημα μόνον ἀλλὰ καὶ τἆλλα σύμπαντα.

καὶ μέχρι γε τοῦδε ἦκων ὁ περὶ τῆς διαίτης λόγος ἑτέροις ⟨κοινὸς⟩ ἂν εἴη πολλοῖς ἀρρωστήμασιν, ὁ δὲ τοῦδε τοῦ πάθους ἴδιος ἐξαιρέτως ἐν τῷι φυλάττεσθαι μάλιστα τὰ φλεγματικὰ τῶν ἐδεσμάτων. | ὅθεν οὐδὲ τοῖς ἄλλως μὲν ἀλύποις, 368
γλίσχρον δέ τινα χυμὸν ἢ ψυχρὸν ἢ παχὺν ἔχουσιν ἐγχρονίζειν προσήκει. τοιαῦτα δέ ἐστιν ἀτράφαξύς τε καὶ βλίτον καὶ μαλάχη, ὧν οὐκ εἴργω μὲν ἅπτεσθαι, διὰ παντὸς δὲ ἐν αὐτοῖς καταγίνεσθαι κωλύω. τούτου δὲ τοῦ γένους εἰσὶ καὶ αἱ κόλοκύνθαι καὶ πολὺ δὴ μᾶλλον αὐτῶν οἵ τε σίκυοι καὶ τὰ μῆλα καὶ τὰ ἅπια καὶ τὸ πάντων, ὅσα φλεγματικὸν ἔχει χυμὸν ἢ παχὺν ἢ γλίσχρον ἢ ψυχρόν, ἔδεσμα

18 σίκυοι Hipp.VI 558 L.; Dioscc.II 135 W.

V M

1 προσφέρεσθαι συγχωρῶ] συγχωρῶ προσφέρεσθαι M
2 πολλὰ] πολλὰς M 5 βλάπτειν] βλέπειν M
6 τὸ νόσημα μόνον] μόνον τὸ νόσημα M 8 ἦκων] ἧκον V ω 9 ἑτέροις] ἑταίροις M κοινὸς] add.Bas.
1o ἀρρωστήμασιν] ἀρώστηνα M τοῦδε] add. Deichgr.
ἐξαιρέτως] scripsi: ἐξαίρετος codd.: καὶ ἐξαίρετος Bas. 11 ἐν τῷι] fort. ἐστὶ τὸ Deichgr.
12 ἄλλως] ἄλλοις M m n b 15 βλίτον] βλῆτος M
εἴργω μὲν] εἴργομαι M 18 δὴ] δὲ m n: om. M
19 τὰ ἅπια] ἅπιοι M 2o ἔχει] ἀθροίζει, suprascr. ἔχει. V ἢ ψυχρὸν] om. V ω ante ἔδεσμα] ἢ Edd. 19 τὸ] add. Deichgr.

χείριστον, οἵ γε μύκητες ὀνομαζόμενοι. τούτου
μέν γε τελέως ἀπέχεσθαι συμβουλεύω καθάπερ καὶ
τῶν γογγυλίδων ὅσα τε ἄλλα τὴν ῥίζαν ἐδώδιμον
ἔχει. παχύχυμά τε γάρ ἐστι καὶ δυσκατέργαστα
τοὺπίπαν [ὅσα τε ἄλλα τοιαῦτα], πλὴν εἴ τινα
τούτων ἔχει τι δριμὺ καὶ θερμὸν ἐν ἑαυτοῖς
οἷον οἵ τε δαῦκοι καὶ αἱ ῥαφανῖδες. ἀλλὰ ῥαφα-
νίδων μὲν ἐκ περιόδου τινὸς ἡμερῶν οὐ κωλύω
γεύεσθαι, δαύκων δὲ [καὶ] ἀπέχεσθαι πειρᾶσθαι
καὶ τούτων ἔτι μᾶλλον γογγυλίδων· πλεονάζειν δὲ
ἐν τῇι χρήσει τῶν ἐδεσμάτων, ὅσα δριμύ τι καὶ
τμητικὸν ἔχει χωρὶς ἐπισήμου | κακοχυμίας ἢ τινος 369
ὀδμῆς ἄφασθαι τῆς κεφαλῆς δυναμένης. ἐκ τούτου
δὲ τοῦ γένους ἐστὶ καὶ ὅσα διὰ θερμότητα τὴν
κεφαλὴν συμπληροῖ καθάπερ οἶνός τε καὶ νᾶπυ καὶ
πετροσέλινον καὶ δαῦκος καὶ κρόμμυον καὶ σμύρνιον.
ταῦτα μὲν καὶ πέρα τοῦ δέοντός ἐστι καυσώδη τε
καὶ κακόχυμα. τὸ μὲν δὴ νᾶπυ καίτοι ἐπιτηδειότα-
τον ὑπάρχον ὅσον ἐπὶ τὸ τέμνειν τοὺς παχεῖς χυ-
μούς, ὡς ἀπτόμενον τῆς κεφαλῆς παραιτητέον.

1 μύκητες Diosc.IV 82 W. 3 γογγυλίδων
Theophr.h.pl.VII,2,5 et 5,3 et 9,4; Hipp.VI
560 L.; Diosc.II 110 W. 7 δαῦκοι Theophr.h.pl.
IX,15,5; Diosc.III 72 W. ῥαφανῖδες Hipp.VI
558 L.; Diosc.II 112 W. 15 οἶνος Hipp.VI 544 L.
Diosc.V 4 W. νᾶπυ Theophr.h.pl.VII,1,2; Hipp.
VI 558 L.; Diosc.II 154 W. 16 πετροσέλινον Diosc.
III 66 W. κρόμμυον Hipp.VI 556 L.; Diosc.II 151 W.

V M

1 γε] scripsi:τε codd. μύκητες] μυκῆται M
5 ὅσα τε ἄλλα τοιαῦτα] delevi 6 ἑαυτοῖς]
αὐτοῖς M 9 καὶ] delevi 11 τι] τε M
12 ἢ] suprascr. V:om.c v15/16 οἶνός τε καὶ
... σμύρνιον] οἶνός τε καὶ νάπυ καὶ σμύρνιον
καὶ δαῦκος καὶ κρόμμυα V ω καὶ δαῦκος] de-
lendum? κρόμμυον] κρόκυον M 18 μὲν]
δὲ V ω 20 παραιτητέον] παραιτηταῖον V b c v
παραιτοπ... A a

ὀξυμέλιτι δὲ χρηστέον θαῤῥοῦντα, κἂν εἰ καθ' ἑκάστην ἡμέραν βούλοιο. (δύναται δὲ ἥ τε κάππαρις δι' αὐτοῦ λαμβάνεσθαι καί τινα ταρίχη τῶν σμικρῶν, ἐλαίου δηλονότι παραχεομένου εἰς ὅσον ἡδῦναι προσήκει τὸ ὄψον.) ἀλλὰ τοῦτο μὲν ὥσπερ τι φάρμακόν ἐστιν αὐτῆς τῆς διαθέσεως· καὶ μᾶλλον εἰ καὶ τὸ ὄξος ἐσκευασμένον εἴη διὰ τῶν σκιλλῶν, ὃ δὴ καλοῦσι συνήθως ἅπαντες σκιλλητικόν· ὅπερ ἐφὼ μὲν εἴπερ τι καὶ ἄλλο καὶ τούτων θάτερον ἐφ' ἑκάστηι κελεύω μεταλαμβάνειν ἡμέραι, λέγω δὲ τὴν κάππαριν ἢ τὸ τάριχος ὀξυμέλιτος ἔχον.

εἰ δὲ καὶ πίνειν θελήσειεν ὁ παῖς ὀξύμελί τι, ἔστω μὲν ἑοκευασμένον ἕτοιμον | οὐδ' αὐτο- 37o
σχέδιον ἐπὶ τοῦ καιροῦ συντιθέμενον ἐξ ὑμῶν ἀμφοτέρων. ὡς δὲ χρὴ σκευάζειν αὐτό, γεγράφεται μετ' ὀλίγον. ὕδατι δὲ κεραννύσθω πλείονι· καὶ γὰρ καὶ ἥδιον οὕτω γένοιτ' ἄν. καὶ χειμῶνος μὲν θερμὸν λαμβανέσθω, θέρους δὲ οὐδὲν ἂν κωλύσειε καὶ ψυχρῶι χρῆσθαι πολλάκις, εἰ θάλπος γε καὶ ὑπερβάλλον εἴη

3 κάππαρις Theophr.h.pl.VI,5,2; Diosc.II 173 W.
8 σκιλλῶν Theophr.h.pl.I,6,7; II,5,5; Diosc. II 171 W. ὄξος σκιλλητικόν Gal.XIII 111 K
16 γεγράφεται cf.19,16sqq.

V M

8 δή] δὲ M ἤδη post ἅπαντες] add.M 1o ἑκάστηι .. ἡμέραι] ἑκάστηι .. ἡμέραν V c v b : ἑκάστην .. ἡμέραν A a μεταλαμβάνειν] λαμβάνειν M 11 τάριχος] τάριχον M ὀξυμέλιτος] ὀξυμέλιτα M 13 θελήσειεν] ἐθελήσειεν M 13/14 ὀξύμελί τι] ὀξυμέλιτα M 14 οὐδ'] scripsi: οὐκ codd. 15 ἐξ ὑμῶν] ἐκ ζωμῶν M: ἐξ ὑμῶν m n 17 κεραννύσθω] κεράννυσθαι M 2o γε καὶ] καὶ om.M

καὶ δίψος σφοδρὸν καὶ ὁ λαμβάνων μὴ παντάπασιν
ἀήθης πόσεως ψυχροῦ. τά τε γὰρ ἄλλα καὶ ἀδιψό-
3 τατόν ἐστιν ὀξύμελι τὸ μὴ λίαν γλυκὺ καὶ μᾶλλον
εἰ ὕδατι ψυχρῷ κεραννύοιτο.

καί μοι πολλάκις ἤρκεσεν ἐπίληπτον
6 παῖδα τελέως ἐξιᾶσθαι μετὰ τὴν πρώτην κάθαρσιν
οὐδὲν τῆς ἀρχαίας διαίτης μεταποιήσαντι πλὴν τὰ
περὶ τὴν ἕξιν τοῦ ὀξυμέλιτος καὶ τὴν χρῆσιν τοῦ
9 φαρμάκου. ἀλλ' ἐπεὶ μήτε γινώσκω τὴν φύσιν τοῦ
παιδός σου μήτε εἰς ὅσον ἰσχύος ἥκοι τὸ πάθος
οἶδα μήτε αὐτὸς ἐφεστάναι μέλλω παρών, οὐκ ἔχω
12 μαντεύσασθαι, τίνων ἐλαχίστων τὸν ἀριθμὸν δεῖται
βοηθημάτων, ἀλλ' ἄμεινον εἶναί μοι δοκεῖ περὶ
πάντων ὑποτίθεσθαι.

15 μετὰ τοίνυν τὰ γυμνάσια κατὰ τὸ ἄριστον
ὀξυμέλιτί τε χρηστέον ὡς εἴρη|ται καὶ λαχάνοις 371
τισὶν ἐλαίαις τε καὶ καρύοις καὶ σύκοις καὶ
18 ἰσχάσιν, οὐχ ἅμα πᾶσιν ἐφ' ἑκάστης ἡμέρας· ἐν
γάρ που καὶ ἁπλοῦν ἔστω τὸ λαμβανόμενον, ἀλλ'
ὑπὲρ τοῦ ποικίλλεσθαι τὴν δίαιταν ὑπὲρ ἁπάντων

2 ἀδιψότατον Gal. CMG V,9,1 p.156,22
9-11 cf. 1,8sqq. 16 εἴρηται cf.14,1sqq.
17 ἐλαίαις Diosc.I 105 W. καρύοις Theophr.
h.pl.III,15,1; Hipp.VI 564 L.; Diosc.I 125 W.

V M

1 παντάπασιν] πάμπασιν M 2 ἀήθης] εὐήθης V ω
7/8 πλὴν τὰ περὶ τὴν ἕξιν] πλὴν τὴν δόσιν M
10 ἥκοι] ἥκει M δεῖται] δεῖ τῶν M 15 τὰ
γυμνάσια] τὰ γὰρ γυμνάσια M 17 τε καὶ] καὶ
om. V A a m n b 18 οὐχ] fort. ἀλλ' οὐχ vel
οὐδ' scribendum Deichgr.

δίειμι. κατὰ δὲ τὸν καιρὸν τοῦτον, ὡς ἐλέγετο,
καὶ τῶν ἄλλων ἀκροδρύων ἀπτέον ἐπιθυμοῦντος τοῦ
παιδός, ἐπεὶ ἄλλως γε κάλλιον ἀπέχεσθαι μὴ ὅτι
νοσήματος ἰάσεως ἕνεκεν ἀλλὰ καὶ πρὸς τὴν ὅλην
ὑγείαν, ὡς καὶ ἡμᾶς ὁρᾶις ἀπεχομένους ἁπάντων
σχεδὸν τῶν ὡραίων ἐδεσμάτων. ἀλλὰ γὰρ οὐ φιλο-
σόφοις γράφομεν ὑποθήκας διαίτης ὑγιεινῆς, ὡς
ἔμοιγε τοῦτο ἂν ἦν εὐκταιότερον, οὐδ' εἰς τὴν
τοῦ πάθους ἴασιν μόνον ἀλλὰ καὶ πρὸς τὸν σύμπαντα
τοῦ παιδός σου βίον.

ἐπιτρεπτέον οὖν αὐτῶι προσφέρεσθαι
φανερῶς τε καὶ κατὰ καιρόν, ὅσα μὴ μεγάλας ἔχει
τὰς βλάβας, ἵνα μὴ λαθραίως τε καὶ ἀκαίρως ἀπο-
λαβὼν αὐτῶν βλάπτηται μειζόνως· καὶ γὰρ ἀθρόως
καὶ πλειόνως ἐμπίπλανται τῶν ἐπιθυμουμένων οἱ
φανερῶς ἐξειργόμενοι μὴ χρῆσθαι. ταὐτά τοι καὶ
συγχωρῶ τοῖς παισὶν ἐγὼ πολλὰ τῶν οὐκ ἐπιτηδεί-
ων ἐδεσμάτων, ὅσα γε μὴ μεγάλως βλάπτει, | φανερῶς 372
τε καὶ κατὰ καιρὸν καὶ σὺν τῶι προσήκοντι μέτρωι
προσφέρεσθαι μᾶλλον ἢ ὥστε διὰ τὴν σφοδρὰν ἐπι-

1 ὡς ἐλέγετο cf.11,1osqq.

V M

8 εὐκταιότερον] εὐκταιότατον M οὐδ'] scripsi: οὐκ codd. 14 βλάπτηται] βλάπτονται V c v A a: βλάπτωνται m n b 17 παισὶν] πᾶσιν V ω 18 γε] om. V ω βλάπτει] βλάπτη V ω 19 προσ-ήκοντι] προήκοντι V ω

θυμίαν ἀκαίρως ἀναγκασθῆναι πλείω τε ἅμα καὶ
λάβρως προσενέγκασθαι. τὰ μὲν δὴ κατὰ τὴν τροφὴν
οὕτω διατετάχθω.
5. μετὰ δὲ ταῦτα διαλιπόντα χρόνον
ὀλίγον ἀτρέμα περιπατῆσαι κελεύω πρὶν ἐπὶ τὰ
μαθήματα παραγίνεσθαι. καὶ μὲν δὴ καὶ ἀπαλλαγέν-
τα τῶν μαθημάτων αὖθις ἀξιῶ περιπατῆσαι πρὸ τοῦ
δείπνου, κἄπειθ' οὕτως τοῦ μὲν ἄρτου τὰς ὑπο-
λοίπους δύο μοίρας προσφέρεσθαι, τῶν δὲ ἄλλων
ἕκαστον, ὡς εἴρηται, κρέας μὲν ἁπάντων σχεδὸν τῶν
πτηνῶν πλὴν ὅσαι λιμναῖαι, τῶν τετραπόδων δὲ
μάλιστα μὲν ἁπάντων ἀπέχεσθαι· εἰ δ' ἄρα ποτὲ
καὶ δεήσει χρήσασθαι, τοῦ μὲν ἡμέρου συὸς τοῖς
ἀκραίοις τε καὶ τῇι γαστρί, τοῦ δὲ ἀγρίου καὶ
ταῖς σαρξὶ χρῆσθαι, γεύεσθαι δὲ καὶ τῶν ἐρίφων,
ἔστιν ὅτε δὲ καὶ τῶν λαγῶων, ⟨ἁπλῶς⟩ πάντων ἡρτυ-
μένων ἢ ὠπτημένων ἄνευ κνίσσης. τὸ δὲ ἁπλῶς
ἔστι δι' ὕδατος ἄνηθον ἔχοντος ἥδυσμα καὶ πράσον 373
ἔλαιόν τε καὶ ἅλας· ὡς δὲ ἄνευ κνίσσης ὀπτηθείη
κρέας καλῶς, τὸν παρ' ἡμῖν ἐθεάσω κλίβανον.

1o εἴρηται cf.1o,4sqq. 11 πτηνῶν Gal. CMG V,4,2 p.356sq. 13 συός Gal. CMG V,4,2 p.442 15 ἐρίφων Gal. CMG V,4,2 p.233,16sqq. et 443,12sqq. 16 λαγῶων Gal. CMG V,4,2 p.334 et 443,18sqq.

V M a versu 4: V M d, cf.p.

2 λάβρως] λαύρως V ω 4 διαλιπόντα] διαλει-
πόντα V ω 11 ὅσαι λιμναῖαι] corr. Edd.:
ὅσα λιμναῖα codd. τῶν] om. V ω 14 ἀκραίοις]
scripsi: ἀκρέοις V ω: ἀκρίοις M d 16 ἔστιν
ὅτε δὲ] ἔστιν δ' ὅτε M d ἁπλῶς] add. Bas.
ante ἢ πάντων] Deichgr.: ἁπάντων M d: om. V ω
18 ἔχοντος] ἔχοντας M d 2o κρέας] κρέα M d
ἡμῖν] ὑμῖν V ω

Ὅσα δὲ θαλάττια τὰ μὲν ὄστρεα σύμπαντα μοχθηρά, τῶν δὲ ἰχθύων οἱ πετραῖοι μὲν ἄριστοι πάντων, ἅπτεσθαι δὲ δεήσει καὶ τῶν πελαγίων. ἡ νάρκη δὲ μόνη σχεδόν τι τῶν σελαχίων ἐπιτήδειος.

ὀσπρίων δὲ πτισάνη μὲν πρώτη, φακῆ δὲ καὶ χόνδρος καὶ πίσος ἐφεξῆς τῆιδε, τὰ δ' ἄλλα μοχθηρά. καθόλου δὲ εἰπεῖν, ὅσα γλίσχρα καὶ παχύχυμα καὶ φυσώδη καὶ περιττωματικὰ καὶ δύσπεπτα, καθότι καὶ πρόσθεν ἐλέγετο, φυλάττεσθαι πάντα.

τὰ μὲν οὖν ὄστρεα καὶ τὰ σελάχη καὶ οἱ βολβοὶ καὶ κοχλίαι καὶ τυροὶ καὶ μύκητες καὶ τὰ βόεια κρέα καὶ τῶν ὠιῶν τὰ καθεφθησόμενα δύσπεπτα μέν ἐστι, ἀλλὰ καὶ παχεῖς ἐργάζεται τῶν ἐσθιόντων ταῦτα τοὺς χυμούς. ὁ χόνδρος δὲ καὶ τὰ χοίρεια κρέα χρηστοῦ μὲν αἵματός ἐστι γεννητικὰ ἀλλὰ γλίσχρου, τὰ δὲ λιμναῖα πάντα περιττωματικὰ φυσώδη τε τὰ ὄσπρια καὶ μάλιστα κύαμοί τε | καὶ ἐρέβινθοι· καὶ ἡ πτισάνη δὲ μὴ ἀκριβῶς καθεφθησομένη φυσώδης ἐστίν, ὥστε καὶ ταύτην ἐφεῖν ἢ μὴ χρῆσθαι. 374

1 ὄστρεα Gal.XII 343sq. K; CMG V,4,2 p.4oosq. et 442sq. 2 πετραῖοι Gal. CMG V,4,2 p.366sq. 3 πελαγίων Gal. CMG V,4,2 p.396,16sqq. et 417,9sqq. 4 σελαχίων Gal. CMG V,4,2 p.378 5 ὀσπρίων Gal. CMG V,4,2 p.243sqq. et 413sq. 9 ἐλέγετο cf.12,3sqq. 12 βολβοί Gal. CMG V,4,2 p.326sq.; XI 851sqq. K κοχλίαι Gal. CMG V,4,2 p.337; XII 355sqq. K τυροί Gal. CMG V,4,2 p.353sqq. 18 κύαμοι Gal. CMG V,4,2 p.246sq. 19 ἐρέβινθοι Gal. CMG V,4,2 p.248sq.

V M d

4 σελαχίων] correxi: μαλακίων V ω M Edd.: μαλακιῶν d, cf.p.83 6 πίσος] πιυδς V ω 11 οὖν] om.V ω 12 τυροὶ καὶ μύκητες] πυροὶ καὶ μήκυτες M d 13 βόεια] ὅμοια M 16 χοίρεια .. 18 ὄσπρια] om.M 16/17 ἐστι γεννητικὰ ἀλλὰ γλίσχρου] ἐστιν ἀλλὰ γλίσχρου γενητικὰ d 17 περιττωματικὰ] om. d 19 ἐρέβινθοι] τερέβινθοι V c v A a b: τερέβυνθοι m n 2o ταύτην] ταύτης V ω

καὶ ἡ φακῆ δὲ καλῶς ἐφηθεῖσα πᾶν ἀποτίθεται τὸ
φυσῶδες. ἀλλ' οὐ χρὴ πλεονάζειν ἐν αὐτῇ παχὺν
3 ὑποτρεφούσηι χυμόν. εἰς μὲν δὴ τὴν ἐφήμερον
δίαιταν ἱκανὰ καὶ ταῦτά ἐστι παραγγέλματα.
6. τῶι δὲ διὰ τῆς σκίλλης φαρμάκωι τῶι
6 πρὸς ἡμῶν σοι δεδομένωι μετὰ τὴν κάθαρσιν, ἣν
εἰσβάλλοντος τοῦ ἦρος ἡξίωσα γενέσθαι, χρήσεται
καθ' ἑκάστην ἡμέραν ὁ υἱός σου πρὶν εἰς τὴν
9 παλαίστραν ἀπιέναι· καὶ εἰ μὴ μεγάλη τις εἴη
πάνυ καὶ σκιῤῥώδης ἡ νόσος, ἐν τεσσαράκοντα ταῖς
πάσαις ἡμέραις ἐλπίζειν ἐπὶ τῶιδε τῶι φαρμάκωι
12 τελέως αὐτὴν καταστήσεσθαι, ὡς ἔγωγε μυρίους
ἤδη παῖδας ἰασάμην μηδὲν δεηθεὶς ἐλλεβόρου. χρὴ
δὲ μετὰ τὴν κάθαρσιν πρὸ τοῦ χρῆσθαι τῶι φαρμάκωι
15 πιεῖν ἀψίνθιον καὶ ἄπαξ που καὶ δίς.
ὀξύμελι δὲ τὸ μὲν ὀξύτατον τέταρτον
ἔχει μέρος τοῦ ὄξους ὡς πρὸς τὸ μέλι, παραλαμβάνει
18 δὲ τὸ γλυκύτατον ὄγδοον. τὰ δ' ἄλλα | τὰ μεταξὺ 375
μέτρα καθ' ὅσον [ἂν] ἑκατέρωι τῶν ἄκρων προσ-
κεχώρηκε, κατὰ τοσοῦτον ὀξύτητος ἢ γλυκύτητος

5 διὰ τῆς σκίλλης φαρμάκωι cf.6,12 7 ἡξίωσα cf.5,1 13 ἐλλεβόρου Theophr.h.pl.IX,10; Diosc.IV 148, 163 W.;Gal.XV 865 K 15 ἀψίνθιον Theophr.h.pl.IX,17-18; Diosc.III 23 W.; Gal. XI 798sqq. et 844 K

V M d

3 ὑποτρεφούσηι] ἀποτρεφούσηι M d 8 πρὶν] πρὴν M: πλὴν V ω 9 εἰ μὴ μεγάλη] μὴ δὲ μεγάλη V ω 10 τεσσαράκοντα] τε μὴν V A a m n b : τε μὲν c v 13 δεηθεὶς] δεηθῆναι M d 15 που] om. M d 17 παραλαμβάνει] corr.Edd.: παραλαμβάνειν V ω: παρεμβάλλειν M d 18 τὸ γλυκύτατον .. 2o κατὰ] om. V ω 19 ἂν] delevi 2o ἢ γλυκύτητος] om. M d

μετέχει. χρὴ δὲ καὶ ἐφεῖσθαι πάντως αὐτό· καὶ γὰρ ἐνωθεῖη οὕτως ἂν ἀκριβῶς τὰ μιχθέντα καὶ τὸ σφοδρὸν τῆς τοῦ ὄξους δυνάμεως καθαιρεθείη καὶ τὸ φυσῶδες ἐν τῶι μέλιτι κολασθείη. καὶ γὰρ δὴ καὶ τὸν ἀφρὸν αὐτοῦ πάντως ὁ ἕψων ἀφαιρήσει. κατὰ δὲ τὴν Ἑλλάδα καὶ τὰς πλείστας τῶν νήσων οἶδα καὶ τὸ ἀπὸ τῶν κηρίων σκευαζόμενον ὀξύμελι· καί σοι καὶ τούτωι χρῆσθαι πάρεστιν ἀδεῶς καὶ μάλιστα θέρους Ἀθήνησί γε διατρίβοντος τοῦ παιδός.

ὀπηνίκα δὲ γλυκύτερον ἢ ὀξύτερον αὐτὸ διδόναι χρὴ καὶ ὑδαρέστερον ἢ ἀκρατέστερον, οὐκ ἐμὸν ἔτι τοῦτο διελεῖν ὥσπερ οὐδὲ ἄλλα πολλὰ τῶν κατὰ μέρος, ἀλλὰ τοῦ παρόντος γε καὶ θεωμένου τὸ θεραπευόμενον σῶμα καὶ δυναμένου τεκμήρασθαι περὶ τῆς τῶν χυμῶν διαθέσεως. ἐπὶ μὲν γὰρ τοῖς παχέσι καὶ γλίσχροις ὀξυτέρωι τε καὶ ἀκρατεστέρωι χρηστέον, ἐπὶ δὲ τοῖς μὴ τοιούτοις ὑδαρεστέρωι τε καὶ γλυκυτέρωι.

κατὰ δὲ τὸν αὐτὸν τρόπον καὶ τὰ ἄλλα

V M d

2 ἄμφω ante τὰ μιχθέντα] add. V ω Edd. 6 πλείστας] πλείστους V ω 7 ἀπό] ἐκ M d σκευαζόμενον] σκευαζομένων M 9 Ἀθήνησί] Ἀθήνηθέν M: Ἀθήνηθί d διατρίβοντος] τρίβοντος V ω 12 χρὴ post ὀπηνίκα δὲ M d ἢ] καὶ V ω 13 ἄλλα] ἄμα Vω 18 τοῖς μὴ τοιούτοις] τῶν μὴ τοιούτων V ω 18/19 ὑδαρεστέρωι τε καὶ γλυκυτέρωι] ὑδαρέστερόν τε καὶ γλυκύτερον M d

σύμπαντα τὰ | εἰρημένα ταῖς ἐφημέροις τοῦ σώμα- 376
τος καταστάσεσι συμμεταβάλλεσθαί τε καὶ ποικίλλ-
εσθαι προσήκει καθάπερ κἂν τοῖς ἄλλοις ἅπασι
νοσήμασιν. ὅθεν οὐδ' εἰ μυρίας τις ὑποθήκας γράφοι
μήπω κατὰ τὴν θεραπευτικὴν μέθοδον ἠσκημένωι
κἀκεῖθεν τετεχνημένωι τὴν ψυχήν, ἱκανὸν ἂν ἐργά-
σαιτο θεραπευτὴν τὸν τοιοῦτον οὐχ ὅπως οὐ μεγίστων
νοσημάτων ἀλλ' οὐδὲ τῶν σμικροτάτων οὐδενός.
ἔδειξα δὲ ἐναργῶς αὐτὸ πολλάκις ἐγὼ καὶ ἔλκη
χρόνια καὶ ὀφθαλμῶν διαθέσεις διὰ τῶν αὐτῶν ἰασά-
μενος φαρμάκων, οἷς οἱ πρόσθεν ἰατροὶ χρώμενοι
μηδὲν ἤνυον. ὁ γάρ τοι καιρὸς τῆς χρήσεως ἑκάστου
καὶ τὸ ποσὸν καθάπερ Ἱ π π ο κ ρ ά τ η ς ἔλεγε
'μέγα τὸ ποσὸν εἰς δύναμιν εὐστόχως συναρμοσθέν,'
τὰ λοιπὰ τῆς ὠφελείας ἐστί. τὰ δὲ φάρμακα μᾶλλον
βοηθημάτων ὕλαί εἰσιν ἢ βοηθήματα καθότι καὶ
τοῦτο τοῖς ἀρίστοις ἰατροῖς ἅπασιν ὡμολόγηται. καί
μοι τετελεύτηκεν ὁ λόγος εἰς ταὐτόν, ὅθεν περ καὶ
ἤρξατο, μηδὲ τοὐλάχιστον ἐπιδείξασθαι δύνασθαι
καλῶς τὸν ἰδιώτην μεταχειρίζεσθαι ἀλλ' ἢ χρήιζειν

14 μέγα ... συναρμοσθέν cit. Hipp. CMG I,1 p.82,23
18sqq. cf.1.19sqq.

V M d

2 συμμεταβάλλεσθαι] συμβάλλεσθαι M d 3 κἂν] scripsi: καὶ codd.Edd. 4 γράφοι] γράφοιεν V ω
7/8 μεγίστων νοσημάτων] μεγίστου νοσήματος V ω
8 οὐδὲ] οὐ M d 1o/11 ἰασάμενος] ἰασάμην M d
11 πρόσθεν] ἔμπροσθεν d 13 καὶ τὸ ποσὸν] om. M d
Edd. 16 βοηθήματα] βοηθημάτων M d καθότι] καθάπερ M d 17 ἅπασιν] om. M d 2o χρήιζειν] χρονίζειν V ω

ἐπιστατοῦντος τοῦ τεχνίτου.

ἐπεὶ δὲ | οἱ πολλοὶ φαύλως τὸν χυλὸν 377
τῆς σκίλλης ἐκλαμβάνουσιν, ἀξιώσαντί σοι [τοῦτο]
μαθεῖν, ὅπως ἐγὼ τοῦτο πράττω, προσθήσω τῶι λόγωι
τὴν σκευασίαν αὐτοῦ.

τῶν μελιτηρῶν ἀγγείων - οὕτως δὲ ὀνο-
μάζουσιν οἱ Ἕλληνες ἐξ ὧν ἐκενώθη μέλι - παρα-
σκευάσας ἐμβάλλω σκίλλαν εἰς λεπτὰ διατρίψας
ταῖς χερσίν, εἶτα πωμάσας στεγανῶι πώματι καὶ
περιθεὶς ἔξωθεν ὅλωι τῶι σώματι τοῦ ἀγγείου
δέρμα καὶ δήσας ἀκριβῶς ἐν χωρίωι κατατίθημι
πρὸς μεσημβρίαν μὲν ἐστραμμένωι, σκεπομένωι δὲ
ἀπὸ τῶν βορείων πνευμάτων ὡς μηδ' ὅλως ὑπ' αὐτῶν
καταπνεῖσθαι.

ποιῶ δὲ τοῦτο κατ' ἐκείνην τοῦ ἔτους
τὴν ὥραν, ἐν ἧι τὴν τοῦ κυνὸς ἐπιτολὴν ἅπαντες
Ἕλληνες πεπιστεύκασιν. αὗται δέ εἰσιν ἡμέραι
τεσσαράκοντα, πρὸ μὲν αὐτῆς τῆς ἐπιτολῆς εἴκοσιν,
ἴσαι δὲ αὐταῖς τὸν ἀριθμὸν αἱ μετ' αὐτήν.

ἀτρέμα δέ πως ἔν τισιν αὐτῶν ὑπαλλάττων

6sqq. exc. Orib. Syn. ad Eusth.III 188 et VIII 3
16 κυνὸς ἐπιτολήν Gal. CMG V,1o,3 p.12,24sqq.

V M d

1 ἐπιστατοῦντος] ἐπιστατοῦντα M d 2 ἐπεὶ] ἐπειδὴ M d
3 τοῦτο] ante μαθεῖν V ω: post μαθεῖν M d: delevi
5 αὐτοῦ] αὐτῆς M d 8 διατρίψας] διαθρύψας Orib.
9 στεγανῶι] στενῶι V ω 1o σώματι] στόματι Orib.
12 post ἐστραμμένωι] τόπωι M d σκεπομένωι] σκεπτο-
μένωι M d 13 ἀπὸ] ὑπὸ M d 15 ἐκείνην] ἐκείνου V ω
19 αὐταῖς] αὐτῆς M d 2o τισιν] τινι M ὑπαλλάττων]
ὑπαλλάτωσι V ω

τὴν θέσιν τοῦ κεραμίου θερμαίνεσθαι κατὰ πᾶν
μέρος ὁμοίως αὐτὸ βουλόμενος, εἶτα μετὰ τὸν
χρόνον τοῦτον λύσας εὑρίσκω τὸ ἀγγεῖον ἡψημένωι
παραπλήσιον τὸ σῶμα τῆς σκίλλης ἔχον, ἐξερρυη-
κότα δέ τινα καὶ χυλὸν αὐτῆς, ὃν ἀνελόμενος
ἡδύνω μέλιτι | καλλίστωι καὶ δίδωμι τούτου καθ' 378
ἑκάστην ἡμέραν ἐν κοχλιάριον μεστόν, τοῖς μὲν
παιδαρίοις μικρόν, τοῖς δὲ τελείοις μέγα. καὶ
μέντοι καὶ τὸ σωματῶδες ὅλης τῆς σκίλλης κόψας
ἀκριβῶς καὶ λειώσας μετὰ μέλιτος δίδωμι κἀκ
τούτου κοχλιάριον ἕν, ὥσπερ εἴρηται. δεύτερον
τῆι δυνάμει τοῦτο γίνωσκε τοῦ πρόσθεν εἰρημένου.
ὅσοι δὲ ἐφήσαντες ἐν ὕδατι τὴν σκίλλαν λειοῦσιν,
ἐκλύουσι τὴν δύναμιν αὐτῆς, ὥσπερ ὅσοι δι'
ὄξους ἰσχυρὸν μὲν σφοδρῶς ἐργάζονται τὸ φάρμα-
κον, οὐκ ἀβλαβὲς δὲ τῶν νεύρων.

6 μέλιτι καλλίστωι Gal. XIV 11sqq. K 16 οὐκ ἀβλαβὲς δὲ τῶν νεύρων Gal. CMG V,9,1 p.251,19sqq.

V M d

1 κεραμίου] κεράμου M d 3 ἡψημένωι] ἐψημένωι M d 5 αὐτῆς] αὐτῶν M d 6 τούτου] τούτωι Md, in d suprascr. ου 8 παιδαρίοις] παιδίοις M d Orib. δὲ τελείοις] τελείοις δὲ M d 9 ὅλης] ὅλον M d 11 ὥσπερ εἴρηται] ὡς προείρηται M d 13 λειοῦσιν] λείουσιν M d : λειουσῶν V ω 15 ἰσχυρὸν] ἰσχυρῶς V ω 16 δὲ] om.d

Index Nominum

'Αθηνᾶ. -ᾶς 3,1

'Αθῆναι. -ας 1,5.5,15. -ησι 5,1o.2o,9

Δαμασκηνά 11,18

Διονύσιος 1,6.2,6.5,5.5,14. 6,15 -ου 5,1o

'Ελλάς. -άδα 2o,6

"Ελληνες 22,7.17

'Ιπποκράτης 21,13

Καικιλιανός. -έ 1,2

Φειδίας 3,1

Index Verborum

ἀβλαβής. -ές 23,16

ἄγαλμα 3,1.5

ἀγγεῖον 23,3 -ου 22,1o -ων 22,6

ἄγριος. -ου 17,14

ἀγρυπνία. -αις 4,8

ἀδεής. -ῶς 2o,8

ἄδιψος. -ότατον 15,2

ἀδόκητος. -ως 4,2

ἀεί 1o,15

ἀήθης 15,2

ἀθροίζω. -ει 7,6

ἀθρόος. -ως 8,9.16,14

αἷμα. -ατος 18,16

